www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Χριστοφόρον

Ἦχος πλ.α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Χριστοφόρον

## Ἦχος πλ.α΄

*Ὠιδὴ Α΄ Τῷ σωτῆρι Θεῷ.*

Χριστοφόρου ᾠδήν, παναρμονίοις φωναῖς, τοῦ εὐκλεοῦς μεγαλομάρτυρος, Χριστὲ Σωτήρ μου, τὴν ἐξ ὕψους μοι κατάπεμψον, σὴν χάριν ἵν’ ἄσωμαι, ἀξίως εὔσπλαγχνε.

Ῥωμαλέῳ φρενί, καὶ διαθέρμῳ Χριστόν, πίστει τρισμάκαρ ὡμολόγησας, Δεσπότην πάντων καὶ Θεὸν καὶ Παντοκράτορα, δι’ ὃν καὶ τὸ ἴδιον, αἷμα ἐξέχεας.

Ἱλαρῶς ἀθλητά, κολαστηρίοις δεινοῖς, καὶ ἀνυποίστοις προσεχώρησας, Χριστῷ τὸν ὕμνον Χριστοφόρε μέλπων ἔνδοξε, αὐτῷ μόνῳ ἄσωμεν, ὅτι δεδόξασται.

*Θεοτοκίον.*

Ἴασαί με Ἁγνή, τὸν ἀσθενοῦντα δεινῶς, ψυχῇ τε ἅμα καὶ τῷ σώματι, ἐκτός σου ἄλλην οὐκ ἔχω ὁ ταλαίπωρος, ἐλπίδα ὁ δοῦλός σου, εἰ μή σε Δέσποινα.

*Ὠιδὴ Γ΄ Δυνάμει τοῦ Σταυροῦ σου.*

Σοφίαν σου τῇ γλώττῃ Χριστός, ἐνθεὶς θεόφρον τὴν ἀπόνοιαν, τῶν ἀσεβῶν Χριστοφόρε, ὁ πρὶν ἄφωνος ἐξήλεγξας.

Ταχίστην σοι τὴν αἴτησιν δοῦς, τῶν διωκόντων σε ἐνέπλησε, Χριστὸς πεινώντων τρισμάκαρ, ὡς οἰκτίρμων καὶ φιλάνθρωπος.

Ὀδύνας Χριστοφόρε εἰς νοῦν, κολαστηρίων μὴ βαλόμενος, Χριστῷ τὸν ὕμνον ἐβόας, χαίρων ἅγιος εἶ Κύριε.

*Θεοτοκίον.*

Λιταῖς σου πανευσπλάγχνως τὸν σόν, Υἱὸν Παρθένε, καθιλέωσον, ὅπως πυρὸς τοῦ ἀσβέστου, διαφεύξωμαι ὁ δύστηνος.

*Ὠιδὴ Δ΄ Εἰσακήκοα τὴν ἀκοήν.*

Φέρων ἔνδοξε ἐν σεαυτῷ, Χριστὸν ἁπάντων τὸν Θεόν, φερωνύμου κλήσεως, ὡς γνήσιος αὐτοῦ, φίλος ἔτυχες, μάρτυς Χριστοφόρε πολύαθλε.

Οὐρανόφρονά σε κατιδών, ὁ γηϊνόφρων ἀθλητὰ καὶ ληρώδης τύραννος, μωρίαν

ἐγκαλεῖ, σύ δὲ ἔκραζες, δόξα τῇ δυνάμει σου Κύριε.

Ῥώμῃ πάνσοφε τῇ τοῦ Σταυροῦ, τῶν δυσμενῶν τὰς συμπλοκάς, Χριστοφόρε μάκαρ, καθεῖλες κραταιῶς, ἀγαλλόμενος, ἐν τοῖς αἰκισμοῖς καρτερώτατε.

*Θεοτοκίον.*

Ἀποδίωξον τῶν ἐμπαθῶν, καὶ ἀκαθάρτων λογισμῶν, τοῦ νοός μου Κόρη νιφάδας καὶ ὁδῷ, καθωδήγησον, τῇ τῆς μετανοίας τὸν δοῦλόν σου.

*Ὠιδὴ Ε΄ Ὀρθρίζοντες βοῶμέν σοι.*

Ὡς ὄντως καθαρώτατον σφάγιον, καὶ προσφορὰ μάρτυς τῷ Σωτῆρι σου, Χριστῷ προσήνεξαι ἅγιε.

Τυράννου τὴν ἀπόνοιαν ἤλεγξας, καρτερικῶς, ξύλῳ αἰωρούμενος, καὶ ξίφεσι μελιζόμενος.

Ὡς θεῖα ἱερεῖα προσήνεγκας, θαυματουργῶν Χριστοφόρε ἔνδοξε, τῷ Σωτῆρι, τῶν πιστευόντων ψυχάς.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Θεοτοκίον.

Ῥοαῖς με τῶν δακρύων ἀξίωσον, λούειν Ἁγνή, τὴν στρωμνὴν τοῦ μέλλοντος, ὅπως πυρὸς διαφεύξωμαι.

Ὠιδὴ ΣΤ΄ Ἐκύκλωσέ με ἄβυσσος.

Μερὶς εἶ ὁ Κύριος, δεινῶς ἀθλητὰ μαστιζόμενος, Χριστοφόρε ἔμελπες, Χριστῷ γενναιότατε, πρὸς αὐτοῦ γέρα, θεόφρον ἐκδεχόμενος.

Ἐπηύξω παμμακάριστε, Χριστῷ τῷ Θεῷ τελειούμενος, τοῖς πίστει προστρέχουσι ἐκ κινδύνων διασώζεσθαι, σοὶ Χριστοφόρε μαρτύρων ἐγκαλλώπισμα.

Γερῶν σε κατηξίωσε, Χριστὸς οὐρανίων μακάριε, δι᾽ ὅνπερ τὸ σῶμά σου, ποιναῖς παραδέδωκας τῆς ἀθλήσεως, ὅθεν σε γεραίρομεν.

Θεοτοκίον.

Ἰάσεων ὡς πέλουσα, πηγὴ Παναγία ἰάτρευσον, ψυχῇ ἀσθενοῦντά με, συνάμα καὶ σώματι, ὅπως ὕμνοις σου, ἀναμέλπω τὰ θαυμάσια.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ὠιδὴ Ζ' Ὁ ἐν καμίνῳ πυρός.*

Αἰνῶν ᾠδὴν ἀριστεῦ, πυρὶ φλεγόμενος ἐβόας, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Λιβάδας μάρτυς τῶν σῶν, θείων αἱμάτων σου ἐκκενώσας, τῆς ἀθανάτου ζωῆς, στεφάνους εἴληφας.

Ὁ τοῦ Σωτῆρος Χριστοῦ, μεγαλομάρτυς Χριστοφόρος, τὴν θείαν μνήμην αὐτοῦ, ἡμᾶς τελέσαι καλεῖ.

*Θεοτοκίον.*

Ὡς τοῦ Θεοῦ τῇ Μητρί, προσφεύγω Πάναγνε ἱκέτης, ἁμαρτιῶν μου πολλῶν, λύσιν αἰτούμενος.

*Ὠιδὴ Η' Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.*

Μαρτύρων ὤφθης ἀλείπτης, ἐν τῷ σταδίῳ Χριστῷ τῷ Θεῷ, παρακελεύων τρισμάκαρ τούτους πίστει βοᾶν, σὲ ὑμνολογοῦμεν καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπαλλαγεὶς τῶν ἐνθένδε, μαρτυρικῶς ἀθλοφόρε Χριστοῦ, καὶ παριστάμενος τούτῳ,

σὺν τοῖς Ἀγγέλοις δυσώπει ἀεί, ἡμᾶς ἐκ κινδύνων, καὶ πάσης ἐπηρείας ἐχθρῶν ἐκλυτρωθῆναι.

Ῥωμαλεότητι μάρτυς, ἀνενδότῳ ἐχθρῶν τὰς βουλάς, τῶν ἀοράτων τε ἅμα καὶ ὁρατῶν, καθεῖλες σοφέ, Χριστοῦ στεφανίτα, ὃν πρέσβευε ἀπαύστως ὑπὲρ τῶν σὲ ὑμνοῦντων.

*Θεοτοκίον.*

Νενεκρωμένον με ὅλως, ὄντα Παρθένε συζῶντα κακοῖς, τῇ ἀνεκφράστῳ δυνάμει, εὐσπλάγχνως ἀνάστησόν με τῇ σῇ, ὅπως ἀνυμνῶ σε ὡς Θεοῦ Μητέρα, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Σὲ τὴν ὑπὲρ νοῦν.*

Τοῦ πανευκλεοῦς τὴν μνήμην πιστῶν οἱ χοροί, Χριστοφόρου τοῦ μάρτυρος φαιδρῶς ἑορτάσωμεν, ἐγκωμίων ἐν ᾠδαῖς, καὶ θείοις ᾄσμασι.

Ὕμνον σῦν Ἀγγέλοις, μάκαρ τῷ θρόνῳ Θεοῦ, ἀεὶ παριστάμενος, μελωδῶν τὸν τρισάγιον, καὶ ἡμῶν τῶν ὑμνούντων σε μνημόνευε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥῦσαι πειρασμῶν παντοίων Χριστοῦ ἀθλητά, Χριστοφόρε πανένδοξε, ᾠδὴν τὸν συνθέμενον, σοὶ πιστῶς δοῦλόν σου, ἀειμακάριστε.

Ἴσον τῷ Πατρὶ τὸν Λόγον, Θεὸν ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, Τριάδα ὁμοούσιον, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

*Θεοτοκίον.*

Μήτηρ Θεοτόκε πάντων τῷ Ὄρει τῷ σῷ, μοναζόντων ὡς οὖσα καὶ Ἔφορος περίσωζε, ἐσαεὶ πάσης περιστάσεως.

*Προσόμοια.*

*Χαίροις ἀσκητικῶν. Ἦχος πλ.α΄.*

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ τῶν ἀπίστων δυσμενῶν τὰ στρατεύματα, τοῖς ὅπλοις τῆς εὐσεβείας, καταβαλὼν ἀνδρικῶς, καὶ τῆς νίκης γέρα κομισάμενος, τυράννων τὸ ἀπηνές, εἰς οὐδὲν λογισάμενος, καὶ ἅπαν εἶδος, ὑπελθὼν τῶν κολάσεων προθυμώτατα, Χριστοφόρε πανένδοξε, ὅθεν καὶ τελειούμενος, τῷ ξίφει κεκόσμησαι, στεφάνοις δόξης ἀξίως, τρισαριστεῦ γενναιότατε, καὶ νῦν συγχορεύων, τοῖς Ἀγγέλοις τῶν ὑμνούντων σε μάκαρ μέμνησο.

Χαίροις ὁ λαμπροφόρος ἀστήρ, ὁ διανοίας τοῖς ἐνθέοις σου ῥήμασι, θεόσοφε καταυγάσας, ἐζοφωμένας τὸ πρίν, καὶ ποδηγετήσας, πρὸς θεόσδοτον, τὴν πίστιν καὶ ἀσεβῶν, τοῖς λαμπροῖς σου παλαίσμασι, φρένας τρισμάκαρ, καταπλήξας καὶ θαύμασιν ὑπερηύγασας, τὴν ὑφήλιον ἅπασαν, καὶ τῶν προσκαλουμένων σε, ἑτοίμη βοήθεια, καὶ προστασία ἐδείχθης, καὶ θλιβομένων παράκλησις, καὶ ἄγρυπνος πρέσβυς, πρὸς Χριστὸν τῶν ὑμνολόγων σου θεοδόξαστε.

Ξίφει ἀποτμηθεὶς ἀθλητά, στεφανηφόρος πρὸς τὰ ἄνω ἐχώρησας, τῷ θρόνῳ νῦν τοῦ Δεσπότου, σὺν Ἀρχαγγέλων χοροῖς, ἐν ἀγαλλιάσει παριστάμενος, ἱκέτευε ἐκτενῶς, Χριστοφόρε ἀοίδιμε, τὴν Ἐκκλησίαν, τοῦτον μάρτυς λυτρώσασθαι, ὡς φιλάνθρωπος καὶ οἰκτίρμων καὶ εὔσπλαγχνος, ζάλης καὶ περιστάσεως, καὶ θλίψεως ἔναγχος, προσγενομένης ἀφρόνων, ἐξ ἐπηρείας καὶ τεύξασθαι, αὐτοῦ τῷ ἐλέει, τὴν σωτήριον εἰρήνην καὶ τὴν ὁμόνοιαν.

Λόγος οὐκ ἐξισχύσει ποτέ, ἁμαρτιῶν μου τὴν πληθὺν διηγήσασθαι, ἣν ἔργοις καὶ διανοίᾳ, καὶ ἀδεῶς ἐν πολλοῖς, τῇ ψυχῇ μου λόγοις ἐπεσώρευσα, ὁ τάλας καὶ οὐδαμῶς, καὶ ἀχρεῖος εἰς αἴσθησιν μεταμελείας κἂν τῷ γήρει ὡς ὤφειλον, προσεπέλασα, καὶ θανάτου


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εἰς ἔννοιαν, Μήτηρ τοῦ ἐλεήμονος, Θεοῦ καὶ
οἰκτίρμονος, τῆς εὐσπλαγχνίας τὴν πύλην,
κἀμοὶ Παρθένε διάνοιξον, καὶ δίδου ὡς οἶδας,
καὶ ὡς βούλει ἐπιστρέψαι με πρὸς μετάνοιαν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ